non solùm non facti, verùm & facti. Signa verò efficiunt, alia quidem opinionem, alia verò scientiam. Id autem pulcherrimũ est quod scientiam efficit, secundo autem loco quod opinionem maximè verisimilem operatur. Signorum autem copia nobis vbertim erit (vt summatim dicam) ex eorum singulis, quæ dicuntur, quæ geruntur, quæ videntur, pro vnoquoque assumendo, tum ex magnitudine, tum ex paruitate eorum, quæ nobis mala, bonáve contingunt, item ex testimoniis, ex testificatis, ex nostris, ex aduersariorum fautoribus ex ipsis illis, ex prouocationibus, ex temporibus, ex aliis multis. Hinc igitur signorum multitudine abundabimus.

## CAPVT XIIII.

Argumentum autem est (sic elenchon interpretamur) quod aliter habere non potest, atque ipsi dicimus. Assumitur autem ex natura necessariis, vt nos dicimus, aut aduersarius: & ex iis, quæ natura fieri aut possunt, aut nõ possunt, sicuti aduersarij dicũt. Natura igitur necessarium est, sicuti viuos cibis indigere, & iis similia. Vt verò nos dicimus, necessariũ est affectos verberib. ea confiteri, quę cedentes iusserint. Natura autẽ fieri nõ potest puellum argenti tãtum furto subripuisse, quãtum ferre nequeat, & id ferentem abiisse. Vt autem aduersarius dicat, fieri non poterit, si quidem dixerit quibus temporibus Athenis debiti tabellas nos fecisse: ipsi autem possumus auditoribus demonstrare, vt ea tempestate ad aliam quandam vrbem aberamus. Argumenta igitur ex iis, atque similibus faciemus. Prorsus verò & ex ipsa conditione, & ex negotiis, & ex aliis probationes omnes transegimus. Consideremus etiam quid item inuicem eæ differunt.

## CAPVT XV.

Probabile igitur ab exemplo hoc differt, quòd probabilis ipsi auditores notionem habent, exempla verò ex contrariis, & ex similibus fieri possunt. Coniecturæ autem solùm ex dictionibus, actionibúsque contrariis constant. Verùm commentatio à coniectura hanc habet differentiam, quòd cõiectura quidem circa dictionem, actionémque contrarietas quædã est, commentatio verò & circa reliquas species contrarietates excipit: aut quòd & coniecturam non est in nobis assumere, nisi circa res, & verba, repugnantia quædam fuerit: commentatio verò è

A νον τοῦ μὴ ὄντος, ἀλλὰ καὶ τοῦ ὄντος. ποιεῖ δὲ τῶν σημείων, τὸ μὲν οἴεσθαι, τὸ δὲ εἰδέναι. κάλλιστον δὲ τὸ εἰδέναι ποιοῦν· δεύτερον δὲ, τὸ δόξαν πιθανωτάτην ἐργαζόμενον. πολλὰ δὲ ποιήσομεν σημεῖα συλλήβδην εἰπεῖν ἐξ ἑκάστου τῶν πεπραγμένων, καὶ λεγομένων, καὶ ὁρωμένων, καθ' ἓν ἕκαστον λαμβάνοντες, ἔκ τε τοῦ μεγέθους, καὶ τῆς σμικρότητος τῶν ἀποβαινόντων κακῶν ἢ ἀγαθῶν. B ἔτι δὲ ἐκ τῶν μαρτυρουμένων, καὶ ἐκ τῶν συμπαρόντων ἡμῖν ἢ τοῖς ἐναντίοις, καὶ ἐξ αὐτῶν ἐκείνων, καὶ ἐκ τῶν προκλήσεων, καὶ ἐκ τῶν χρόνων, καὶ ἐξ ἄλλων πολλῶν. τῶν μὲν οὖν σημείων ἐντεῦθεν εὐπορήσομεν.

## Κεφάλαιον ιδ.

Ἔλεγχος δὲ, ἐστὶ μὲν ὃ μὴ δυνατὸν ἄλλως ἔχειν, ἀλλ' οὕτως ὡς ἡμεῖς λέγομεν. C λαμβάνεται δὲ ἐκ τῶν φύσει ἀναγκαίων, ὡς ἡμεῖς λέγομεν, ἢ ὁ ἀντιλέγων· καὶ ἐκ τῶν κατὰ φύσιν δυνατῶν ἢ ἀδυνάτων, ὡς οἱ ἐναντίοι λέγουσι. κατὰ φύσιν μὲν οὖν ἀναγκαῖόν ἐστιν τοὺς ζῶντας σιτίων δεῖσθαι, καὶ τὰ τούτοις ὅμοια. ὡς δὲ ἡμεῖς λέγομεν, ἐστὶν ἀναγκαῖον τοὺς μεμαστιγωμένους ὁμολογεῖν ἅπερ οἱ μαστιγοῦντες κελεύουσι. κατὰ φύσιν δὲ πάλιν ἀδύνατόν ἐστι παιδάριον μικρὸν κλέψαι D τοσοῦτον ἀργύριον, ὅσον μὴ δυνατὸν φέρειν, καὶ οἴχεσθαι τοῦτο φέρον· ὡς δ' ἂν ὁ ἐναντίος λέγοι, ἔσται ἀδύνατον, ἂν φάσκῃ μὲν ἐν χρόνοις τισὶν Ἀθήνησι ποιήσασθαι τὸ συμβόλαιον· ἡμεῖς δ' ἔχομεν ἐπιδεῖξαι τοῖς ἀκούουσιν, ὡς κατὰ τὸν τότε καιρὸν ἀπεδημοῦμεν ἐν ἑτέρᾳ πόλει τινί. τοῖς μὲν οὖν ἐλέγχοις ἐκ τούτων, καὶ ἐκ τῶν τούτοις ὁμοιοτρόπων ποιη- E σόμεθα. συλλήβδην δὲ τὰς ἐξ αὐτοῦ τοῦ λόγου, καὶ τῶν πράξεων καὶ τῶν ἀνθρώπων πίστεις ἁπάσας διεληλύθαμεν. σκεψώμεθα δὲ καὶ τί ἀλλήλων διαφέρουσιν.

## Κεφάλαιον ιε.

Τὸ μὲν τοίνυν εἰκὸς τοῦ παραδείγματος ταύτῃ διαφέρει, διότι τοῦ μὲν εἰκότος ἔχουσιν αὐτοὶ οἱ ἀκούοντες ἔννοιαν· τὰ δὲ παραδείγματα, καὶ ἐκ τῶν ἐναντίων καὶ ἐκ F τῶν ὁμοίων φέρειν ἐστί. τὰ δὲ τεκμήρια μόνον ἐκ τῶν περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντίων συντίθεται. καὶ μὴν ἐνθυμήματά γε τεκμηρίου ταύτην τὴν διαφορὰν ἔσχηκεν, ὅτι τὸ μὲν τεκμήριον, περὶ τὸν λόγον καὶ τὴν πρᾶξιν ἐναντιώσεις ἐστί. τὸ δ' ἐνθύμημα,

καὶ τὰς